τὸν τρόπον προϋποτετυπώσθωσαν, τῶν δὲ ἐπὶ μέρους, κατὰ τὸ τῶν γενέσεων ἴδιον ὀφειλουσῶν λαμβάνεσθαι τὰς μὲν κατὰ τὸ προϋποτεθειμένον πάλιν καὶ ὁλοσχερέστερον, ἀπὸ τῶν κυριωτάτων πάλιν ἀφέσεων ποιησόμεθα, πασῶν μέντοι γε οὐκ ἀπὸ μιᾶς, ὥσπερ ἐπὶ τῶν τῆς ζωῆς χρόνων, ἀλλὰ τὴν μὲν ἀπὸ τοῦ ὡροσκόπου πρὸς τὰ σωματικὰ τῶν συμπτωμάτων καὶ τὰς ξενιτείας τὴν δὲ ἀπὸ τοῦ κλήρου τῆς τύχης πρὸς τὰ τῆς κτήσεως, τὴν δὲ ἀπὸ τῆς ☾, πρὸς τὰ τῆς ψυχῆς πάθη, καὶ τὰς συμβιώσεις, τὴν δὲ ἀπὸ τοῦ ☉ πρὸς τὰ κατ' ἀξίαν καὶ δόξαν, τὴν δ' ἀπὸ τοῦ μεσουρανήματος, πρὸς τὰς λοιπὰς καὶ κατὰ μέρος τοῦ βίου διαγωγάς, οἷον, πράξεις φιλίας, τεκνοποιίας, οὕτω γὰρ ἐν τοῖς αὐτοῖς καιροῖς, οὐχ εἷς ἔσται ἀγαθοποιὸς κύριος αὐτῶν, πολλῶν ὡς ἐπὶ τὸ πολὺ συμβαινόντων ὑπὸ τοὺς αὐτοὺς χρόνους ἐναντίων συμπτωμάτων. ὡς ὅταν τις ἀποβαλὼν πρόσωπον οἰκεῖον, λάβῃ κληρονομίαν, ἢ νόσῳ κατακλιθῇ κατὰ τὸ αὐτὸ, καὶ τύχῃ τινὸς ἀξίας ἢ προκοπῆς. ἢ ἐν ἀπραγίᾳ τυγχάνων, τέκνων γένηται πατὴρ. καὶ ὅσα τοιαῦτα συμβαίνειν εἴωθεν. οὐ γὰρ τὸ αὐτὸ σώματος καὶ ψυχῆς καὶ κτήματος καὶ ἀξιώματος, καὶ τῶν συμβιούντων ἀγαθῶν ἢ κακῶν, ὡς ἐξ ἀνάγκης ἐν ἅπασι τούτοις εὐτυχεῖν τινὰ, ἢ πάλιν ἀτυχεῖν, ἀλλὰ συμβαίνοι μὲν ἂν ἴσως καὶ τὸ τοιοῦτον, ἐπὶ τῶν πλέον εὐδαιμονιζομένων, ἢ ταλανιζομένων καιρῶν, ὅταν ἐν ἁπάσαις ἢ ταῖς πλείσταις ἀφέσεσιν, συνδράμωσιν ὑπαντήσεις ἀγαθοποιῶν πάντων, ἢ πάλιν κακοποιῶν. σπανίως δὲ, διὰ τὸ τῆς ἀνθρωπίνης φύσεως ἀτελὲς μὲν πρὸς ἑκατέραν τῶν ἀκροτάτων, εὐκατάφορον δὲ, πρὸς τὴν ἐκ τῆς ἐναλλαγῆς τῶν ἀγαθῶν ἢ κακῶν συμμετρίαν, τοὺς μὲν οὖν ἀφετικοὺς τόπους, κατὰ τὸν εἰρημένον τρόπον διακρινοῦμεν, τοὺς δὲ ἐν ταῖς ἀφέσεσιν ὑπαντῶντας, οὐ μόνον πάλιν τοὺς ἀναιρέτας, ὥσπερ ἐπὶ τῶν τῆς ζωῆς χρόνων, ἀλλὰ πάντας ἁπλῶς παραληπτέον, καὶ ὁμοίως οὐ τοὺς σωματικῶς μόνον, ἢ κατὰ διάμετρον ἢ τετράγωνον στάσιν συναντῶντας, ἀλλὰ καὶ τοὺς κατὰ τρίγωνον καὶ ἑξάγωνον σχηματισμόν. καὶ πρῶτον μὲν δοτέον τοὺς χρόνους καθ' ἑκάστην ἄφεσιν, τῷ κατ' αὐτῆς τῆς ἀφετικῆς μοίρας τυχόντι, ἢ συσχηματισθέντι, ἐὰν δὲ μὴ οὕτως ἔχῃ, τῷ τὴν ἔγγιστα προήγησιν ἐπιλαβόντι, μέχρι τοῦ τὴν ἑξῆς εἰς τὰ ἑπόμενα μοῖραν ἐπιθεωρήσαντος, εἶτα τούτῳ μέχρι τοῦ ἑξῆς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, παραλαμβανομένων εἰς τὴν οἰκοδεσποτίαν καὶ τῶν τὰ ὅρια ἐπεχόντων ἀστέρων, δοτέον δὲ πάλιν ταῖς τῶν διαστάσεων μοίραις, ἔτη κατὰ μὲν τὴν ἀπὸ τοῦ ὡροσκόπου ἄφεσιν, ἰσάριθμα τοῖς τοῦ οἰκείου κλί-